16 ἔπεσεν ὁ στέφανος τῆς κεφαλῆς ἡμῶν·
οὐαὶ δὴ ἡμῖν, ὅτι ἡμάρτομεν.
17 περὶ τούτου ἐγενήθη ὀδυνηρὰ ἡ καρδία ἡμῶν,
περὶ τούτου ἐσκότασαν οἱ ὀφθαλμοὶ ἡμῶν·
18 ἐπ᾽ ὄρος Σιων, ὅτι ἠφανίσθη,
ἀλώπεκες διῆλθον ἐν αὐτῇ.
19 σὺ δέ, κύριε, εἰς τὸν αἰῶνα κατοικήσεις,
ὁ θρόνος σου εἰς γενεὰν καὶ γενεάν.
20 ἵνα τί εἰς νεῖκος ἐπιλήσῃ ἡμῶν,
καταλείψεις ἡμᾶς εἰς μακρότητα ἡμερῶν;
21 ἐπίστρεψον ἡμᾶς, κύριε, πρὸς σέ, καὶ ἐπιστραφησόμεθα·
καὶ ἀνακαίνισον ἡμέρας ἡμῶν καθὼς ἔμπροσθεν.
22 ὅτι ἀπωθούμενος ἀπώσω ἡμᾶς,
ὠργίσθης ἐφ᾽ ἡμᾶς ἕως σφόδρα.

$16^1$ της κεφ./ημων] tr. B† | $16^2$ δη B†] δε A, > *L* || $17^1$ οδυνηρα] pr. οδυνη B†

Subscr. θρηνοι ιερεμιου BA

---

# ΕΠΙΣΤΟΛΗ ΙΕΡΕΜΙΟΥ

Ἀντίγραφον ἐπιστολῆς, ἧς ἀπέστειλεν Ιερεμιας πρὸς τοὺς ἀχθησομένους αἰχμαλώτους εἰς Βαβυλῶνα ὑπὸ τοῦ βασιλέως τῶν Βαβυλωνίων ἀναγγεῖλαι αὐτοῖς καθότι ἐπετάγη αὐτῷ ὑπὸ τοῦ θεοῦ.

1 [1] Διὰ τὰς ἁμαρτίας, ἃς ἡμαρτήκατε ἐναντίον τοῦ θεοῦ, ἀχθήσεσθε
εἰς Βαβυλῶνα αἰχμάλωτοι ὑπὸ Ναβουχοδονοσορ βασιλέως τῶν
2 Βαβυλωνίων. [2] εἰσελθόντες οὖν εἰς Βαβυλῶνα ἔσεσθε ἐκεῖ ἔτη πλεί-
ονα καὶ χρόνον μακρὸν ἕως γενεῶν ἑπτά, μετὰ τοῦτο δὲ ἐξάξω
3 ὑμᾶς ἐκεῖθεν μετ᾽ εἰρήνης. [3] νυνὶ δὲ ὄψεσθε ἐν Βαβυλῶνι θεοὺς
ἀργυροῦς καὶ χρυσοῦς καὶ ξυλίνους ἐπ᾽ ὤμοις αἰρομένους δεικνύν-
4 τας φόβον τοῖς ἔθνεσιν. [4] εὐλαβήθητε οὖν μὴ καὶ ὑμεῖς ἀφομοιω-
θέντες τοῖς ἀλλοφύλοις ἀφομοιωθῆτε καὶ φόβος ὑμᾶς λάβῃ ἐπ᾽
5 αὐτοῖς [5] ἰδόντας ὄχλον ἔμπροσθεν καὶ ὄπισθεν αὐτῶν προσκυνοῦν-
6 τας αὐτά, εἴπατε δὲ τῇ διανοίᾳ Σοὶ δεῖ προσκυνεῖν, δέσποτα. [6] ὁ
γὰρ ἄγγελός μου μεθ᾽ ὑμῶν ἐστιν, αὐτός τε ἐκζητῶν τὰς ψυχὰς
ὑμῶν.

Ep. Ier.: BA.

Tit. επεταγη] υπ. A | αυτω] -τοις A†

1 αμαρτιας] + υμων B*† | εναντι A | βασ.] pr. του A || 5 ιδοντες A | αυτων > A | ειπατε — fin. > A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246944X/770 UNIVERSITÄT LEIPZIG